τὸ X σημεῖον κέντρον βάρους | τοῦ $AZ\Gamma$ τριγώνου· 66r col. 1 δέδεικται γὰρ | ἐν τοῖς Ἰσορροπικοῖς. ἐπεὶ οὖν ἰ|σόρροπον τὸ $Z\Delta\Gamma$ τρίγωνον αὐ|τοῦ μένον τῷ $B\Delta\Gamma$ τμήματι κατὰ | τὸ K τεθέντι περὶ τὸ Θ κέντρον | τοῦ βάρους, καί ἐστιν τοῦ $Z\Delta\Gamma$ τρι|γώνου κέντρον βάρους τὸ X, ἔστιν | ἄρα, ὡς τὸ $AZ\Gamma$ τρίγωνον πρὸς | τὸ $AB\Gamma$ τμῆμα κείμενον περὶ τὸ | Θ κέντρον, οὕτως ἡ ΘK πρὸς XK. | τριπλασία δέ ἐστιν ἡ ΘK τῆς KX· τρι|πλάσιον ἄρα καὶ τὸ $AZ\Gamma$ τρίγωνον | τοῦ $AB\Gamma$ τμήματος. ἔστι δὲ καὶ | τὸ $Z\Delta\Gamma$ τρίγωνον τετραπλάσιον | τοῦ $AB\Gamma$ τριγώνου διὰ τὸ ἴσην εἶναι | τὴν μὲν ZK τῇ KA, τὴν δὲ $A\Delta$ τῇ | $\Delta\Gamma$· ἐπίτριτον ἄρα ἐστὶν τὸ $AB\Gamma$ τμῆ|μα τοῦ $AB\Gamma$ τριγώνου. [τοῦτο οὖν | φανερόν ἐστιν].

71v col. 1

β'.

Τοῦτο δὴ διὰ μὲν τῶν νῦν εἰρημένων | οὐκ ἀποδέδεικται, ἔμφασιν δέ | τινα πεποίηκε τὸ συμπέρασμα | ἀληθὲς εἶναι· διόπερ ἡμεῖς ὁ|ρῶντες μὲν οὐκ ἀποδεδειγμέ|νον, ὑπονοοῦντες δὲ τὸ συμπέ|ρασμα ἀληθὲς εἶναι, τάξο|μεν τὴν γεωμετρουμένην ἀ|πόδειξιν ἐξευρόντες αὐτοὶ τὴν | ἐκδοθεῖσαν πρότερον.

Ὅτι δὲ πᾶ|σα σφαῖρα τετραπλασία ἐστὶν τοῦ | κώνου 66r col. 2 τοῦ βάσιν μὲν ἔχοντος | ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν ἐν | τῇ σφαίρᾳ, ὕψος δὲ ἴσον τῇ ἐκ τοῦ | κέντρου τῆς σφαίρας, καὶ ὁ κύλιν|δρος ὁ βάσιν μὲν ἔχων ἴσην τῷ | μεγίστῳ κύκλῳ τῶν ἐν τῇ σφαίρᾳ, | ὕψος δὲ ἴσον τῇ διαμέτρῳ τῆς σφαί|ρας, ἡμιόλιος τῆς σφαίρας ἐστίν, | ὧδε θεωρεῖται κατὰ τρόπον τόνδε·

Ἔστω γάρ τις σφαῖρα, ἐν ᾗ μέγιστος | κύκλος ὁ $AB\Gamma\Delta$, διάμετροι δὲ αἱ | $A\Gamma$, $B\Delta$ πρὸς ὀρθὰς ἀλλή-

$AZ\Gamma$; hoc enim in libro De aequilibriis[1]) demonstratum est. quoniam igitur triangulus $Z\Delta\Gamma$ suo loco manens in puncto K cum segmento $B\Delta\Gamma$ circum Θ centrum grauitatis posito aequilibritatem seruat, et X centrum grauitatis est trianguli $Z\Delta\Gamma$, erit, ut triangulus $AZ\Gamma$ ad segmentum $AB\Gamma$ circum Θ centrum positum, ita $\Theta K : XK$. uerum $\Theta K = 3\,KX$; quare etiam $AZ\Gamma$ triangulus segmento $AB\Gamma$ triplo maior est. sed triangulus $Z\Delta\Gamma$ idem triangulo $AB\Gamma$ quadruplo maior est [ZMP. XXIV p. 179 nr. 7], quia $ZK = KA$ et $A\Delta = \Delta\Gamma$;[2]) ergo segmentum $AB\Gamma$ triangulo $AB\Gamma$ tertia parte maius est.[3])

II.

Hoc igitur per ea, quae nunc diximus, demonstratum illud quidem non est, at significationem quandam dedit, conclusionem ueram esse; quare, cum intellegamus, conclusionem demonstratam non esse, suspicemur autem, eam ueram esse, demonstrationem per geometriam a nobis ipsis inuentam suo loco[4]) proponemus, quam eandem antea edidimus.

Omnem uero sphaeram quadruplo maiorem esse cono basim habenti circulo maximo sphaerae aequalem, altitudinem autem radio sphaerae aequalem, et cylindrum basim habentem circulo maximo sphaerae aequalem, altitudinem autem diametro sphaerae aequalem, dimidia parte maiorem esse sphaera, per hanc methodum sic examinatur:

Sit enim sphaera, cuius circulus maximus $AB\Gamma\Delta$, dia-

1) Cfr. lemm. 5, et u. De plan. aequil. I, 15; II, 5. ZMP. XXIV p. 179 nr. 6a.

2) Nam $\Delta\Gamma : A\Gamma = \Delta B : AK$ (Eucl. VI, 4), unde
$$\Delta B = \tfrac{1}{2} AK = \tfrac{1}{4} AZ.$$

3) τοῦτο — ἐστιν lin. 13—14 cum lin. 16 sqq. stare nequeunt.

4) Sine dubio in extremo libro.

---

2 ἐπεὶ] ἔσται. **13** τοῦτο — **14** ἐστιν] deleo. **15** β'] om. Hic fig. p. 435. **20** τάξομεν] quod addubitat *Theodorus Reinach*, nunc praestare possum. **22** τετραπλασία] διπλασία.

λαις οὖ|σαι, ἔστω δὲ κύκλος ἐν τῇ σφαί|ρᾳ περὶ διάμετρον τὴν $B\varDelta$ ὀρθὸς | πρὸς τὸν $AB\Gamma\varDelta$ κύκλον, καὶ ἀπὸ | τοῦ ὀρθοῦ κύκλου τούτου κῶνος ἀναγε|γράφθω κορυφὴν ἔχων τὸ A ση|μεῖον, καὶ ἐκβληθείσης τῆς ἐπιφα|νείας αὐτοῦ τετμήσθω ὁ κῶνος ἐπι|πέδῳ διὰ τοῦ Γ παρὰ τὴν βάσιν· | ⟨ποιήσει δὴ κύκλον ὀρθὸν
71ᵛ col. 2 πρὸς⟩ | τὴν $A\Gamma$, καὶ διάμετρος αὐτοῦ ἡ EZ. | ἀπὸ δὲ τοῦ κύκλου τούτου κύλινδρος | ἀναγεγράφθω ἄξονα ἔχων τῇ | $A\Gamma$ ἴσον, πλευραὶ δὲ ἔστωσαν τοῦ κυλίν-|δρου αἱ $E\varDelta$, ZH· καὶ ἐκβεβλήσθω | ἡ ΓA, καὶ κείσθω αὐτῇ ἴση ἡ $A\Theta$, καὶ | νοείσθω ζυγὸς ὁ $\Gamma\Theta$, μέσον δὲ αὐ|τοῦ τὸ A, καὶ ἤχθω τις παράλληλος ὑ|πάρχουσα τῇ $B\varDelta$ ἡ MN, τεμνέτω | δὲ αὕτη τὸν μὲν $AB\Gamma\varDelta$ κύκλον κατὰ | τὰ Ξ, O, τὴν δὲ $A\Gamma$ διάμετρον κατὰ τὸ Σ, | τὴν δὲ AE εὐθεῖαν κατὰ τὸ Π, τὴν | δὲ AZ κατὰ τὸ P, καὶ ἀπὸ τῆς MN | εὐθείας ἐπίπεδον ἀνεστάτω | ὀρθὸν πρὸς τὴν $A\Gamma$· ποιήσει δὴ τοῦ|το ἐν μὲν τῷ κυλίνδρῳ τομὴν | ⟨κύκλον, οὗ ἔσται διάμετρος ἡ MN, | ἐν δὲ τῇ $AB\Gamma\varDelta$ σφαίρᾳ⟩ | κύκλον, οὗ ἔσται
66ᵛ col. 1 διάμετρος ἡ ΞO, ἐν | δὲ τῷ AEZ κώνῳ κύκλον, οὗ ἔσται δι|άμετρος ἡ ΠP.

καὶ ἐπεὶ ἴσον ἐστὶν τὸ | ὑπὸ ΓA, $A\Sigma$ τῷ ὑπὸ $M\Sigma$, $\Sigma\Pi$· ἴση γὰρ | ἡ μὲν $A\Gamma$ τῇ ΣM, ἡ δὲ $A\Sigma$ τῇ $\Pi\Sigma$· τῷ δὲ | ὑπὸ ΓA, $A\Sigma$ ἴσον ἐστὶν τὸ ἀπὸ $A\Xi$, του-|τέστιν τὰ ἀπὸ $\Xi\Sigma$, $\Sigma\Pi$, ἴσον ἄρα τὸ ὑ|πὸ τῶν $M\Sigma$, $\Sigma\Pi$ τοῖς ἀπὸ τῶν $\Xi\Sigma$, $\Sigma\Pi$. | καὶ ἐπεί ἐστιν, ὡς ἡ ΓA πρὸς $A\Sigma$, οὕτως ἡ | $M\Sigma$ πρὸς $\Sigma\Pi$, ἴση δὲ ἡ ΓA τῇ $A\Theta$, ὡς ἄρα | ἡ ΘA πρὸς $A\Sigma$, ἡ $M\Sigma$ πρὸς $\Sigma\Pi$, τουτέστι τὸ ἀπὸ | $M\Sigma$ πρὸς τὸ ὑπὸ $M\Sigma$, $\Sigma\Pi$. τῷ δὲ ὑπὸ $M\Sigma$, | $\Sigma\Pi$ ἴσα ἐδείχθη τὰ ἀπὸ $\Xi\Sigma$, $\Sigma\Pi$· ὡς ἄρα | ἡ $A\Theta$ πρὸς $A\Sigma$, οὕτως τὸ ἀπὸ $M\Sigma$ πρὸς τὰ |

metri autem $A\Gamma$, $B\varDelta$ inter se perpendiculares, et in sphaera circulus sit circum diametrum $B\varDelta$ ad circulum $AB\Gamma\varDelta$ perpendicularis, in hoc autem circulo perpendiculari conus construatur uerticem habens punctum A, et superficie eius producta conus per Γ plano basi parallelo secetur; hoc igitur circulum efficiet ad $A\Gamma$ perpendicularem, eiusque diametrus erit EZ. in hoc autem circulo cylindrus construatur axem habens rectae $A\Gamma$ aequalem, lateraque cylindri sint $E\varDelta$, ZH; et producatur ΓA, eique aequalis ponatur $A\Theta$, fingatur autem $\Gamma\Theta$ libra mediumque eius punctum A, et ducatur recta aliqua MN rectae $B\varDelta$ parallela circulumque $AB\Gamma\varDelta$ secet in Ξ, O, diametrum autem $A\Gamma$ in Σ et rectam AE in Π, rectam AZ autem in P, et in recta MN planum erigatur ad $A\Gamma$ perpendiculare; hoc igitur sectionem efficiet in cylindro circulum, cuius diametrus erit MN, in sphaera autem $AB\Gamma\varDelta$ circulum, cuius diametrus erit ΞO, in cono AEZ autem circulum, cuius diametrus erit ΠP.



et quoniam $\Gamma A \times A\Sigma = M\Sigma \times \Sigma\Pi$ (nam $A\Gamma = \Sigma M$, $A\Sigma = \Pi\Sigma$ [Eucl. VI, 4]), et $\Gamma A \times A\Sigma = A\Xi^2$ [Eucl. VI, 8 coroll.] $= \Xi\Sigma^2 + \Sigma\Pi^2$ [Eucl. I, 47], erit

$$M\Sigma \times \Sigma\Pi = \Xi\Sigma^2 + \Sigma\Pi^2.$$

et quoniam est $\Gamma A : A\Sigma = M\Sigma : \Sigma\Pi$, et $\Gamma A = A\Theta$, erit

---

1 οὖσαι] οὔσαις. 3 κύκλου] om. 11 ζυγὸς] ὁ ζυγός. 20 τῷ] τό. 21 διάμετρος] ἡ διάμετρος. 23 γάρ] bis. 24 τῷ] Reinach, τό. 25 ὑπὸ] ἀπό. 29 τῷ] τό.

ἀπὸ ΞΣ, ΣΠ. ὡς δὲ τὸ ἀπὸ ΜΣ πρὸς τὰ | ἀπὸ ΞΣ, ΣΠ, οὕτως τὸ ἀπὸ ΜΝ πρὸς τὰ | ἀπὸ ΞΟ, ΠΡ, ὡς δὲ τὸ ἀπὸ ΜΝ πρὸς τὰ | ἀπὸ ΞΟ, ΠΡ, οὕτως ὁ κύκλος ὁ ἐν τῷ | κυλίνδρῳ, οὗ διάμετρος ἡ ΜΝ, πρὸς | ⟨ἀμφοτέρους τοὺς κύκλους τόν τε | ἐν τῷ κώνῳ, οὗ 71ʳ col. 1 διάμετρος ἡ ΠΡ,⟩ | καὶ τὸν ἐν τῇ σφαίρᾳ, οὗ ἐστιν διά|μετρος ἡ ΞΟ· ὡς ἄρα ἡ ΘΑ πρὸς ΑΣ, οὕτως | ὁ κύκλος ὁ ἐν τῷ κυλίνδρῳ πρὸς τοὺς | κύκλους τόν τε ἐν τῇ σφαίρᾳ καὶ | τὸν ἐν τῷ κώνῳ. ἐπεὶ οὖν, ὡς ἡ ΘΑ | πρὸς ΑΣ, οὕτως αὐτὸς ὁ κύκλος ὁ ἐν | τῷ κυλίνδρῳ αὐτοῦ μένων ἀμφο|τέροις τοῖς κύκλοις, ὧν εἰσιν διάμε|τροι αἱ ΞΟ, ΠΡ, μετενεχθεῖσιν καὶ τε|θεῖσιν οὕτως ἐπὶ τὸ Θ, ὥστε ἑκατέρου | αὐτῶν κέντρον εἶναι τοῦ βάρους τὸ | Θ, ἰσορροπήσουσι κατὰ τὸ Α σημεῖ|ον. ὁμοίως δὲ δειχθήσεται, καὶ ἐὰν ἄλ|λη ἀχθῇ ἐν τῷ ΔΖ παραλληλογράμ|μῳ παρὰ τὴν ΕΖ, καὶ ἀπὸ 66ᵛ col. 2 τῆς ἀ|χθείσης ἐπίπεδον ἀνασταθῇ ὀρθὸν | πρὸς τὴν ΑΓ, ὅτι ὁ γενόμενος κύκλος ἐν | τῷ κυλίνδρῳ ἰσορροπήσει πε|ρὶ τὸ Α σημεῖον αὐτοῦ μένων ἀμ|φοτέροις τοῖς κύκλοις τῷ τε | ἐν τῇ σφαίρᾳ γινομένῳ καὶ τῷ | ἐν τῷ κώνῳ μετενεχθεῖσι καὶ τε|θεῖσιν ἐπὶ τοῦ ζυγοῦ κατὰ τὸ Θ οὕτως, | ὥστε ἑκατέρου αὐτῶν κέντρον εἶναι | τοῦ βάρους τὸ Θ. συμπληρω|θέντος οὖν τοῦ κυλίνδρου ὑπὸ τῶν | ληφθέντων κύκλων καὶ τῆς σφαί|ρας καὶ τοῦ κώνου ἰσορροπήσει | ὁ κύλινδρος περὶ τὸ Α σημεῖον αὐ|τοῦ μένων συναμφοτέροις τῇ | τε σφαίρᾳ καὶ τῷ κώνῳ μετενε|χθεῖσι καὶ τεθεῖσι ἐπὶ τοῦ ζυγοῦ κατὰ | τὸ Θ, ὥστε ἑκατέρου αὐτῶν κέντρον | εἶναι τοῦ βάρους τὸ Θ. ἐπεὶ οὖν ἰσορροπεῖ | τὰ εἰρημένα στερεὰ κατὰ τὸ Α ση|μεῖον τοῦ μὲν κυλίνδρου μένοντος 71ʳ col. 2 περὶ κέντρον | τοῦ βάρους τὸ Κ, τῆς δὲ σφαίρας καὶ |

$\Theta A : A\Sigma = M\Sigma : \Sigma\Pi = M\Sigma^2 : M\Sigma \times \Sigma\Pi$. demonstrauimus autem, esse $M\Sigma \times \Sigma\Pi = \Xi\Sigma^2 + \Sigma\Pi^2$; itaque

$$A\Theta : A\Sigma = M\Sigma^2 : \Xi\Sigma^2 + \Sigma\Pi^2.$$

uerum [Eucl. V, 15]

$$M\Sigma^2 : \Xi\Sigma^2 + \Sigma\Pi^2 = MN^2 : \Xi O^2 + \Pi P^2,$$

et, ut $MN^2 : \Xi O^2 + \Pi P^2$, ita circulus in cylindro positus, cuius diametrus est MN, ad utrumque circulum, et qui in cono est, cuius diametrus est ΠP, et qui in sphaera est, cuius diametrus ΞO [Eucl. XII, 2]; itaque, ut $\Theta A : A\Sigma$, ita circulus in cylindro positus ad circulos in sphaera et in cono positos. quoniam igitur est, ut $\Theta A : A\Sigma$, ita ipse circulus in cylindro positus suo loco manens ad utrumque circulum,[1]) quorum diametri sunt ΞO, ΠP, transpositos et ad Θ ita collocatos, ut Θ centrum grauitatis sit utriusque, in A puncto aequilibritatem seruabunt. similiter autem demonstrabimus, etiam si in parallelogrammo $\varDelta Z$ alia recta rectae EZ parallela ducatur, et in recta ducta planum erigatur ad $A\Gamma$ perpendiculare, circulum in cylindro ortum suo loco manentem in puncto A cum utroque circulo et in sphaera et in cono ortis transpositis et in libra ad punctum Θ ita collocatis, ut Θ centrum grauitatis sit utriusque, aequilibritatem seruaturum esse. expletis igitur per circulos ita sumptos cylindro et sphaera conoque cylindrus suo loco manens cum utroque simul et sphaera et cono transpositis et in libra ad Θ ita collocatis, ut Θ centrum grauitatis sit utriusque, in A puncto aequilibritatem seruabit. quoniam igitur figurae

1) Lin. 9—14 uereor ne aliquid turbatum sit; nam lin. 11 scribendum fuit ⟨πρὸς⟩ ἀμφοτέρους τοὺς κύκλους κτλ., quod propter lin. 12 restitui nequit. datiuus melius ab ἰσορροπήσουσι lin. 14 penderet (tum scribendum ἰσορροπήσει), et ἐπεὶ lin. 9 — αὐτὸς lin. 10 inutilia sunt; cfr. p. 450, 7 sqq.

2 τὸ] τά. 3 τὸ] τά. 7 διάμετρος] ἡ διάμετρος. 10 αὐτὸς ὁ] ὁ αὐτός. 16 ΔΖ] ΑΓ. 23 τὸ] περὶ τό. 30 μένοντος] om.

τοῦ κώνου μετενηνεγμένων, ὡς | εἴρηται, περὶ κέντρον βάρους τὸ Θ, | ἔσται, ὡς ἡ ΘΑ πρὸς ΑΚ, οὕτως ὁ κύλιν|δρος πρὸς τὴν σφαῖραν καὶ τὸν κῶ|νον. διπλασία δὲ ἡ ΘΑ τῆς ΑΚ· διπλα|σίων ἄρα καὶ ὁ κύλινδρος συναμ|φοτέρου τῆς τε σφαίρας καὶ τοῦ | κώνου. αὐτοῦ δὲ τοῦ κώνου τριπλα|σίων ἐστί· τρεῖς ἄρα κῶνοι ἴσοι εἰσὶ δυ|σὶ κώνοις τοῖς αὐτοῖς καὶ δυσὶ σφαί|ραις. κοινοὶ ἀφῃρήσθωσαν δύο | κῶνοι· εἷς ἄρα κῶνος ὁ ἔχων τὸ | διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΕΖ | ἴσος ἐστὶ ταῖς εἰρημέναις δυσὶ | σφαίραις. ὁ δὲ κῶνος, οὗ τὸ διὰ | τοῦ ἄξονος τρίγωνον τὸ ΑΕΖ, ἴσος ἐστὶν | 65r col. 1 ὀκτὼ κώνοις, ὧν ἐστι τὸ διὰ τοῦ | ἄξονος τρίγωνον τὸ ΑΒΔ, διὰ τὸ | διπλῆν εἶναι τὴν ΕΖ τῆς ΒΔ. οἱ ἄρα | ὀκτὼ κῶνοι οἱ εἰρημένοι ἴσοι εἰσὶ | δυσὶ σφαίραις. τετραπλασίων | ἄρα ἐστὶν ἡ σφαῖρα, ἧς μέγιστος | κύκλος ὁ ΑΒΓΔ, τοῦ κώνου, οὗ κορυ|φὴ μέν ἐστι τὸ Α σημεῖον, βάσις | δὲ ὁ περὶ διάμετρον τὴν ΒΔ κύ|κλος ὀρθὸς ὢν πρὸς τὴν ΑΓ.

ἤχθω|σαν δὴ διὰ τῶν Β, Δ σημείων ἐν | τῷ ΑΖ παραλληλογράμμῳ τῇ | ΑΓ παράλληλοι αἱ ΦΒΧ, ΨΔΩ, καὶ | νοείσθω κύλινδρος, οὗ βάσεις | μὲν οἱ περὶ διαμέτρους τὰς ΦΨ, ΧΩ κύκλοι, ἄξων δὲ ὁ ΑΓ. ἐπεὶ | οὖν διπλάσιός ἐστιν ὁ κύλινδρος, οὗ | ἐστι τὸ διὰ τοῦ ἄξονος παραλληλόγραμμον τὸ ΦΩ, τοῦ κυλίνδρου, | 72v col. 1 ⟨οὗ ἐστι τὸ διὰ τοῦ ἄξονος παραλ⟩|ληλόγραμμον τὸ ΦΔ, αὐτὸς δὲ οὗ|τος τριπλασίων ἐστὶν τοῦ κώνου, | οὗ ἐστι τὸ διὰ τοῦ ἄξονος τρίγωνον | τὸ ΑΒΔ, ὡς ἐν τοῖς Στοιχείοις, ἑξα|πλασίων ἄρα ὁ κύλινδρος, οὗ ἐστι | τὸ διὰ τοῦ ἄξονος παραλληλό|γραμμον τὸ ΦΩ, τοῦ κώνου, οὗ | τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ ΑΒΔ. | ἐδείχθη δὲ τοῦ αὐτοῦ κώνου τετρα|πλασία οὖσα ἡ

solidae, quas diximus, in puncto A aequilibritatem seruant cylindro circum K centrum grauitatis [lemm. 8] manente, sphaera autem conoque circum Θ centrum grauitatis transpositis, erit, ut $\Theta A : AK$, ita cylindrus ad sphaeram conumque [De plan. aequil. I, 6—7]. uerum $\Theta A = 2\,AK$; quare etiam cylindrus utroque simul sphaera conoque duplo maior est. idem autem ipso cono triplo maior est [Eucl. XII, 10]; itaque tres coni duobus conis iisdem et duabus sphaeris aequales sunt. auferantur, qui communes sunt, duo coni; itaque unus conus, cuius triangulus per axem positus AEZ est, duabus sphaeris, quales diximus, aequalis est. sed conus, cuius triangulus per axem positus AEZ est, aequalis est octo conis, quorum triangulus per axem positus $AB\Delta$ est [Eucl. XII, 12], quia $EZ = 2\,B\Delta$; quare octo coni, quales diximus, duabus sphaeris aequales sunt. ergo sphaera, cuius maximus circulus est $AB\Gamma\Delta$, quadruplo maior est cono, cuius uertex est punctum A, basis autem circulus circum diametrum $B\Delta$ ad $A\Gamma$ perpendicularis.[1])

iam per puncta B, Δ in parallelogrammo AZ rectae $A\Gamma$ parallelae ducantur ΦBX, $\Psi\Delta\Omega$, et fingatur cylindrus, cuius bases sint circuli circum diametros $\Phi\Psi$, $X\Omega$, axis autem $A\Gamma$. quoniam igitur cylindrus, cuius parallelogrammum per axem positum $\Phi\Omega$ est, duplo maior est cylindro, cuius parallelogrammum per axem positum $\Phi\Delta$ est [Eucl. XII, 14], hic autem ipse cono, cuius triangulus per axem positus $AB\Delta$ est, triplo maior est, ut in Elementis[2]) est [Eucl. XII, 10], cylindrus, cuius parallelogrammum per axem positum $\Phi\Omega$ est, cono, cuius triangulus per axem positus $AB\Delta$

1) Est De sph. et cyl. I, 34.
2) Suspicor, uerba ὡς ἐν τοῖς Στοιχείοις p. 444, 27 sq. interpolatoris esse; nam desideratur δέδεικται, nec intellegitur, cur hoc solo loco Euclidis opus nominatim citatum sit.

4 διπλασίων] διπλάσιον. 20 ΦΒΧ, ΨΔΩ] $\overline{\varphi\beta}$ $\overline{\chi\psi}$ δω̄. 21 νοείσθω κύλινδρος, οὗ] νοείσθωσαν κύλινδροι ὧν. 22 κύκλοι] κύκλους.

σφαῖρα, ἧς μέ|γιστός ἐστιν κύκλος ὁ $ΑΒΓΔ$· | ἡμιόλιος ἄρα ὁ κύλινδρος τῆς | σφαίρας· ὅπερ ἔδει δειχθῆναι. |

Τούτου τεθεωρημένου, διότι πᾶ|σα σφαῖρα τετραπλασία ἐστὶ τοῦ | κώνου τοῦ βάσιν μὲν ἔχοντος
65r col. 2 τὸν | μέγιστον κύκλον, ὕψος δὲ ἴσον | τῇ ἐκ τοῦ κέντρου τῆς σφαίρας, | ἡ ἔννοια ἐγένετο, ὅτι πάσης σφαί-|ρας ἡ ἐπιφάνεια τετραπλασία ἐστὶ | τοῦ μεγίστου κύκλου τῶν ἐν τῇ σφαί|ρᾳ· ὑπόληψις γὰρ ἦν, καὶ διότι πᾶς κύκλος | ἴσος ἐστὶ τριγώνῳ τῷ βάσιν μὲν ἔχον|τι τὴν τοῦ κύκλου περιφέρειαν, ὕψος | δὲ ἴσον τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, | καὶ διότι πᾶ|σα σφαῖρα | ἴση ἐστὶ κώ|νῳ τῷ βά σιν μὲν ἔχον|τι τὴν ἐπι|φάνειαν τῆς | σφαίρας, ὕψος | δὲ ἴσον τῇ ἐκ | τοῦ κέντρου | τῆς σφαίρας.

γ΄.

72v col. 2 Θεωρεῖται δὲ διὰ τοῦ τρόπου ταύτου | ⟨καί, ὅτι ὁ κύλινδρος ὁ τὴν μὲν βάσιν⟩ | ἔχων ἴσην τῷ μεγίστῳ κύκλῳ τῶν | ἐν τῷ σφαιροειδεῖ, ὕψος δὲ ἴσον τῷ | ἄξονι τοῦ σφαιροειδοῦς, ἡμιόλιός ἐστι | τοῦ σφαιροειδοῦς·| τούτου δὲ θεωρη|θέντος φανερόν, ὅτι παντὸς σφαι-|ροειδοῦς ἐπιπέδῳ τμηθέντος δι|ὰ τοῦ κέντρου ὀρθῷ πρὸς τὸν ἄ|ξονα τὸ ἥμισυ τοῦ σφαιροειδοῦς δι|πλάσιόν ἐστι τοῦ κώνου τοῦ βάσιν | μὲν ἔχοντος τὴν αὐτὴν τῷ τμή|ματι καὶ ἄξονα τὸν αὐτόν.

ἔστω γάρ τι | σφαιροειδὲς καὶ τετμήσθω ἐπιπέ|δῳ διὰ τοῦ ἄξονος, καὶ γινέσθω ἐν | τῇ ἐπιφανείᾳ αὐτοῦ ὀξυγωνίου | κώνου τομὴ ἡ $ΑΒΓΔ$, διάμετροι δὲ | αὐ-
65v col. 1 τῆς ἔστωσαν αἱ $ΑΓ$, $ΒΔ$, κέντρον | δὲ τὸ $Κ$, ἔστω δὲ κύκλος ἐν τῷ σφαι|ροειδεῖ περὶ διάμετρον τὴν $ΒΔ$

1 ἐστιν] μέν ἐστιν ὁ. 4 τούτου τεθεωρημένου] τοῦ τοῦ τεθεωρήματος. 5 τοῦ] om. 12—15 Hic fig. p. 441. 16 γ΄] om. 23 τὸν] τε τὸν.

est, sexcuplo maior est. demonstrauimus autem, sphaeram, cuius circulus maximus sit $ΑΒΓΔ$, eodem cono quadruplo maiorem esse; ergo cylindrus dimidia parte maior est sphaera; quod erat demonstrandum.[1])

Hoc examinato, omnem sphaeram cono basim habenti circulum maximum, altitudinem autem radio sphaerae aequalem, quadruplo maiorem esse, orta est opinio, omnis sphaerae superficiem quadruplo maiorem esse circulo maximo sphaerae;[2]) supposui enim, sicut omnis circulus triangulo basim habenti ambitum circuli, altitudinem autem radio circuli aequalem, aequalis sit,[3]) ita etiam omnem sphaeram cono aequalem esse basim habenti superficiem sphaerae, altitudinem autem radio sphaerae aequalem.

III.

Per hanc methodum hoc quoque examinatur, cylindrum basim habentem maximo circulo sphaeroidis aequalem, altitudinem autem axi sphaeroidis aequalem, dimidia parte maiorem esse sphaeroide; quo examinato adparet, quouis sphaeroide per centrum plano ad axem perpendiculari secto dimidium sphaeroidis cono eandem basim altitudinemque eandem habenti, quam segmentum, duplo maius esse.[4])

Sit enim sphaeroides aliquod planoque per axem secetur, et in superficie eius sectio coni acutianguli efficiatur $ΑΒΓΔ$, diametri autem eius sint $ΑΓ$, $ΒΔ$ centrumque $Κ$, et in sphaeroide circulus sit circum diametrum $ΒΔ$ ad $ΑΓ$ perpendi-

1) Est De sph. et cyl. I, 34 coroll. ceterum clausulam illam sollemnem demonstrationum addi non debuisse, adparet ex p. 438, 16 sq.
2) Demonstratur De sph. et cyl. I, 33.
3) De dim. circ. 1.
4) De conoid. et sphaeroid. 27.

τῆς εὐθείας, ὥστε | τὸ μέρος αὐτῆς τὸ πρὸς τῇ κο- | ρυφῇ τοῦ τμήματος πρὸς τὸ λοιπὸν | τοῦτον ἔχειν τὸν λόγον, ὃν ἔχει συ|ναμφότερον ὅ τε ἄξων τοῦ τμή- | ματος καὶ ἡ τετραπλασία τοῦ | ἄξονος τοῦ ἐν τῷ ἀντι- κειμένῳ | τμήματι πρὸς συναμφότερον τόν | τε ἄξονα τοῦ τμήματος καὶ τὴν | διπλασίαν τοῦ ἄξονος τοῦ ἐν τῷ | ἀντικειμένῳ τμήματι ἐμπεριε|χομένου.

ια΄.

41ʳ col. 2 Θεωρεῖται δὲ διὰ τοῦ τρόπου | ⟨καί, ὅτι πᾶν τμῆμα ἀμβλυγωνίου κωνο|ειδέος⟩ πρὸς τὸν κῶνον τὸν βάσιν ἔχον|τα τὴν αὐτὴν τῷ τμήματι καὶ | ἄξονα τὸν αὐτὸν τοῦτον ἔχει τὸν λόγον, | ὃν ἔχει συναμφότερος ὅ τε ἄξων | τοῦ τμήματος καὶ ἡ τριπλασία | τῆς προσούσης τῷ ἄξονι πρὸς συ|ναμφότερον τόν τε ἄξονα τοῦ τμή- | ματος τοῦ κωνοειδοῦς καὶ τὴν δι|πλασίαν τῆς προσ- ούσης τῷ ἄξο|νι, κέντρον δὲ τοῦ βάρους τοῦ ἀμβλυ- | γωνίου κωνοειδέος τμηθέντος | τοῦ ἄξονος, ⟨ὥστε⟩ τὸ πρὸς τῇ | κορυφῇ τμῆμα πρὸς τὸ λοιπὸν | λόγον ἔχειν, ὃν ἔχει ὅ τε τριπλάσιος | τοῦ ἄξονος ⟨καὶ ἡ ὀκταπλασία⟩ | 48ᵛ col. 1 τῆς προσκειμένης πρὸς τὸν ἄξονα | αὐτοῦ τοῦ κω- νοειδέος καὶ τὴν τετρα|πλασίαν αὐτῆς τῆς προσκει- μένης | πρὸς αὐτόν· καὶ ἄλλων πλειόνων ἃ | .... θεωρουμένων τὰ | ..... περιλήψομεν δη ...'τως, | ἐπεὶ ὁ τρόπος ὑποδέδεικται διὰ τῶν | προειρημένων.

ιβ΄.

Ἐὰν εἰς πρίσμα | ὀρθὸν τετραγώνους ἔχον βάσεις | κύλινδρος ἐγγραφῇ τὰς μὲν βά|σεις ἔχων ἐν τοῖς ἀπ- εναντίον | τετραγώνοις, τὴν δὲ ἐπιφάνειαν τῶν | λοιπῶν [παραλληλογράμμων] | τεσσάρων ἐπιπέδων ἐφαπτομέ- |

quae axis sit segmenti, ita secta, ut pars eius ad uerticem segmenti posita ad reliquam eam rationem habeat, quam habeat utrumque et axis segmenti et quadruplum axis segmenti oppositi ad utrumque simul et axem segmenti et duplum axis in segmento opposito comprehensi.

XI.

Per methodum autem nostram hoc quoque examinatur, quoduis segmentum conoidis obtusianguli ad conum eandem basim habentem, quam segmentum, axemque eundem eam rationem habere, quam habeat utrumque simul et axis segmenti et triplum rectae ad axem adiectae ad utrumque simul et axem segmenti conoidis et duplum rectae ad axem adiectae,[1] et centrum grauitatis conoidis obtusianguli in axe positum esse[2] ita secto, ut pars ad uerticem posita ad reliquam eam rationem habeat, quam habeat triplum axis octuplumque rectae ad axem adiectae ad axem ipsius[3]) conoidis quadruplumque ipsius rectae ad eum adiectae. et cum alia complura eiusmodi per hanc methodum examinari possint, reliqua nunc non adsumemus,[4] quia methodus nostra per ea, quae iam diximus, satis significata est.

XII.

Si in prisma rectum quadratas habens bases cylindrus inscribitur bases in quadratis oppositis habens positas, super-

1) De conoid. et sphaeroid. 25.
2) Uerbum eiusmodi addendum lin. 17, cogitatione saltem.
3) Nisi sequeretur αὐτῆς τῆς lin. 21, scriberem αὐτὸν τοῦ lin. 20; neque enim intellego, cur ipsius additum sit.
4) Fortasse lin. 23 scribendum περιλείψομεν. sed hoc quoque fieri potest, ut lin. 22—23 hunc in modum supplendae sint: quibus nunc omissis ea tantum adiungemus, quae ab initio significauimus.

2 ἔχειν] ἔχει. 7 ἐμπεριεχομένου] ἐμπεριεχομένη. 8 ια΄] om. 18 τὸ] τόν. ἔχειν] ἔχει. 20 προσκειμένης] προκειμένης. 21 προσκειμένης] προκειμένης. 25 ιβ΄] om. 26 ἔχον] ἔχοντι. 29 παραλληλογράμμων] deleo. ἐφαπτομένην] ἐφαπτόμενον.

νην, διὰ δὲ τοῦ κέντρου τοῦ κύκλου, ὅς ἐστι | βάσις τοῦ κυλίνδρου, καὶ μιᾶς πλευ|<ρᾶς τοῦ ἀπεναντίον τε- 41r col. 1 τραγώνου ἐπίπε>|δον ἀχθῇ, ὅτι τὸ ἀποτμηθὲν σχῆ-|μα ὑπὸ τοῦ ἀχθέντος ἐπιπέδου | <ἕκτον> ἐστὶ μέρος τοῦ ὅλου πρίσματος, | διὰ τοῦ τρόπου τούτου θεωρεῖται. | δείξαντες δὴ ἀναχωρήσομεν | ἐπὶ τὴν διὰ τῶν γεωμετρουμένων ἀπόδειξιν αὐτοῦ.

νοείσθω | πρίσμα ὀρθὸν τετραγώνους ἔχον | βάσεις καὶ ἐν τῷ πρίσματι κύλιν|δρος ἐγγεγραμμένος, ὡς εἴρη|ται, τμηθέντος δὲ τοῦ πρίσμα|τος διὰ τοῦ ἄξονος ἐπιπέδῳ ὀρ|θῷ πρὸς τὸ ἐπίπεδον τὸ ἀποτετμη|κὸς τὸ τμῆμα τοῦ κυλίνδρου τοῦ | μὲν πρίσματος τοῦ τὸν κύλινδρον | ἔχοντος τομὴ ἔστω τὸ AB παραλληλό- | 48v col. 2 γραμμον, τοῦ δὲ ἐπιπέδου τοῦ ἀ|ποτετμηκότος τὸ τμῆμα ἀπὸ | τοῦ κυλίνδρου καὶ τοῦ διὰ τοῦ ἄξο|νος ἠγμένου ἐπιπέδου ὀρθοῦ πρὸς | τὸ ἐπίπεδον τὸ ἀποτετμηκὸς τὸ | ἀπὸ τοῦ κυλίνδρου τμῆμα κοι|νὴ τομὴ ἔστω ἡ $B\Gamma$ εὐθεῖα, ἄξων | δὲ ἔστω τοῦ πρίσματος καὶ τοῦ | κυλίνδρου ἡ $\Gamma\Delta$ εὐθεῖα, καὶ τεμνέ|τω αὐτὴν ἡ EZ δίχα καὶ πρὸς ὀρθάς, | καὶ διὰ τῆς EZ ἐπίπεδον ἀνεστάτω | ὀρθὸν πρὸς τὴν $\Gamma\Delta$· ποιήσει δὴ τοῦ|το ἐν μὲν τῷ πρίσματι τομὴν | τετράγωνον, ἐν δὲ τῷ κυλίνδρῳ | τομὴν κύκλον. ἔστω οὖν τοῦ μὲν | πρίσματος τομὴ τὸ MN τετρά|γωνον, τοῦ δὲ κυλίνδρου ὁ $\Xi O\Pi P$ | <κύ- 41r col. 2 κλος, καὶ ἐφαπτέσθω ὁ κύκλος> | τῶν τοῦ τετραγώνου πλευρῶν | κατὰ τὰ Ξ, O, Π, P σημεῖα, τοῦ δὲ | ἐπιπέδου τοῦ ἀποτετμηκότος | τὸ τμῆμα ἀπὸ τοῦ κυλίνδρου | καὶ τοῦ διὰ τῆς EZ ἀχθέντος | ἐπιπέδου ὀρθοῦ πρὸς τὸν ἄξονα | τοῦ κυλίνδρου κοινὴ τομὴ ἔστω | ἡ $K\Lambda$ εὐθεῖα· τέμνει δὲ αὐτὴν δίχα | ἡ $\Pi\Theta\Xi$. ἤχθω δέ τις εὐθεῖα ἐν τῷ | $O\Pi P$ ἡμικυκλίῳ ἡ ΣT πρὸς ὀρθὰς

ficiem autem quattuor reliqua plana contingentem, et per centrum circuli, qui basis est cylindri, latusque aliquod quadrati oppositi planum ducitur, figuram plano ducto abscisam sextam partem esse totius prismatis, per hanc methodum examinatur, quo monstrato[1]) ad geometricam eius demonstrationem redibimus.

fingatur prisma rectum quadratas bases habens cylindrusque in prismate inscriptus, uti diximus, prismate autem per axem secto plano ad planum segmentum cylindri abscindens perpendiculari prismatis cylindrum comprehendentis sectio sit parallelogrammum AB, plani autem segmentum a cylindro abscindentis planique per axem ducti ad planum segmentum cylindri abscindens perpendicularis communis sectio sit recta $B\Gamma$, axis autem prismatis cylindrique sit recta $\Gamma\Delta$, eamque recta EZ in duas partes aequales et ad angulos rectos secet, et per EZ planum erigatur ad $\Gamma\Delta$ perpendiculare; hoc igitur in prismate quadratum, in cylindro autem circulum sectionem efficiet. sit igitur prismatis



sectio quadratum MN, cylindri autem circulus $\Xi O\Pi P$, qui latera quadrati contingat in punctis Ξ, O, Π, P, plani autem segmentum a cylindro abscindentis planique per EZ ducti ad axem cylindri perpendicularis communis sectio sit recta $K\Lambda$, quam recta $\Pi\Theta\Xi$ in duas partes aequales secat. et in semicirculo $O\Pi P$ recta aliqua ΣT ducatur ad ΠX perpendicu-

1) Prop. XIV; geometrica uero demonstratio est prop. XV.

1 ὅς] ὅ. 4 ἕκτον] aut omissum aut ς´ scriptum. 6 δὴ] fort. δὲ. 9 καὶ] om. 13 τὸ] om. Fig. non comparet.

οὖ|σα τῇ ΠΧ, καὶ ἀπὸ τῆς ΣΤ ἐπί|πεδον ἀνασταθὲν ὀρθὸν πρὸς τὴν | ΞΠ ἐκβεβλήσθω ἐφ᾽ ἑκάτερα | τοῦ ἐπιπέδου, ἐν ᾧ ἐστιν ὁ ΞΟΠΡ κύ|κλος· ποιήσει δὴ τοῦτο ἐν τῷ ἡμικυ|λίνδρῳ, οὗ ἐστι βάσις τὸ ΟΠΡ 47r col. 1 ἡμικύ|κλιον, ὕψος δὲ ὁ ἄξων τοῦ πρίσ|ματος, τομὴν παραλληλόγραμ|μον, οὗ ἔσται μία μὲν πλευρὰ ἡ ἴ|ση τῇ ΣΤ, ἡ δὲ ἑτέρα τῇ τοῦ κυ|λίνδρου πλευρᾷ, ποιήσει δὲ καὶ | ἐν τῷ τμήματι τῷ ἀποτετμη|μένῳ ἀπὸ τοῦ κυλίνδρου τομὴν | παραλληλόγραμμον, οὗ ἐστιν ἡ μὲν | ἑτέρα πλευρὰ ἴση τῇ ΣΤ, ἡ δὲ | ἑτέρα τῇ ΝΥ· ἔστω δὲ | οὕτως ἡ ΝΥ ἠγμένη ἐν τῷ ΔΕ | παραλληλογράμμῳ παράλλη|λος οὖσα τῇ ΒΩ ἴσην ἀπολαμ|βάνουσα τὴν ΕΙ τῇ ΠΧ. καὶ ἐπεὶ | παραλληλόγραμμόν ἐστι τὸ ΕΓ, καὶ | παράλληλος ἡ ΝΙ τῇ ΘΓ, καὶ | διηγμέναι εἰσὶν αἱ ΕΘ, ΓΒ, ἔστιν, ὡς | ἡ ΕΘ πρὸς ΘΙ, οὕτως ἡ ΩΓ πρὸς ΓΝ, του|τέστιν ἡ ΒΩ πρὸς ΥΝ. ὡς δὲ ἡ ΒΩ πρὸς ΥΝ, | οὕτως τὸ παραλληλόγραμμον τὸ γε- 42v col. 1 νόμενον | ⟨ἐν τῷ ἡμικυλινδρίῳ πρὸς τὸ γε⟩|νόμενον ἐν τῷ ἀποτμήμα|τι τῷ ἀποτμηθέντι ἀπὸ τοῦ | κυλίνδρου· ἀμφοτέρων γὰρ τῶν | παραλληλογράμμων ἡ αὐτὴ | πλευρά ἐστιν ἡ ΣΤ· καὶ ἴση ἐστὶν ἡ ΕΘ | τῇ ΘΠ, ἡ δὲ ΙΘ τῇ ΧΘ· καὶ ἐπεὶ | ἴση ἐστὶν ἡ ΠΘ τῇ ΘΞ, ὡς ἄρα ἡ ΘΞ | πρὸς ΘΧ, οὕτως τὸ γενόμενον παραλ|ληλόγραμμον ἐν τῷ ἡμικυλινδρίῳ | πρὸς τὸ γενόμενον ἐν τῷ ἀποτμή|ματι τῷ ἀπὸ τοῦ κυλίνδρου.

νοείσ|θω μετακείμενον τὸ ἐν τῷ | τμήματι παραλληλόγραμμον | καὶ κείμενον κατὰ τὸ Ξ, ὥστε | κέντρον εἶναι αὐτοῦ τοῦ βάρους τὸ Ξ, | καὶ ἔτι νοείσθω ζυγὸς ἡ ΠΞ, 47r col. 2 μέσον | δὲ αὐτοῦ τὸ Θ· ἰσορροπεῖ δὴ περὶ | τὸ Θ σημεῖον τὸ παραλληλόγραμ|μον τὸ ἐν τῷ ἡμικυλινδρίῳ αὐτ|οῦ μένον τῷ παραλληλογράμμῳ | τῷ γενομένῳ ἐν

laris, planumque in ΣΤ erectum ad ΞΠ perpendiculare in utramque partem plani, in quo est circulus ΞΟΠΡ, producatur; hoc igitur in semicylindro, cuius basis est semicirculus ΟΠΡ, altitudo autem axis prismatis, sectionem efficiet parallelogrammum, cuius alterum latus rectae ΣΤ aequale est, alterum autem lateri cylindri, idemque in segmento a cylindro absciso sectionem efficiet parallelogrammum, cuius alterum latus rectae ΣΤ aequale erit, alterum autem rectae ΝΥ, quae ita in parallelogrammo ΔΕ rectae ΒΩ parallela ducta sit, ut abscindat $EI = \Pi X$. et quoniam parallelogrammum est ΕΓ, et ΝΙ rectae ΘΓ parallela, et ΕΘ, ΓΒ per eas ductae sunt inter se secantes, erit



$$E\Theta : \Theta I = \Omega\Gamma : \Gamma N = B\Omega : \Upsilon N \text{ [Eucl. VI, 4].}$$

sed ut $B\Omega : \Upsilon N$, ita parallelogrammum in semicylindro ortum ad parallelogrammum in segmento a cylindro absciso ortum [Eucl. VI, 1]; nam utriusque parallelogrammi idem latus est ΣΤ; et $E\Theta = \Theta\Pi$, $I\Theta = X\Theta$; et quoniam $\Pi\Theta = \Theta\Xi$, erit, ut $\Theta\Xi : \Theta X$, ita parallelogrammum in semicylindro ortum ad parallelogrammum in segmento cylindri ortum.

parallelogrammum segmenti fingatur transpositum et ad Ξ ita collocatum, ut centrum grauitatis eius sit Ξ, et praeterea ΠΞ libra fingatur, medium autem eius punctum Θ; itaque parallelogrammum semicylindri suo loco manens cum

2 τοῦ ἐπιπέδου] τὸ ἐπίπεδον. 3 δ] ἡ. 10 ΣΤ — τῇ] om. 15 ΓΒ] ΘΒ. οὕτως] οὕτως ὡς. 17 παραλληλόγραμμον] παράλληλον. 25 τῷ] om. 26 τὸ] τῷ. 28 ἔτι] ἐστι.

τῷ ἀποτμήμα|τι τῷ ἀπὸ τοῦ κυλίνδρου μετενεχθέν-|τι καὶ τεθέντι τοῦ ζυγοῦ κατὰ τὸ | Ξ οὕτως, ὥστε κέντρον εἶναι αὐτοῦ τοῦ | βάρους τὸ Ξ σημεῖον. καὶ ἐπεί ἐστι | τοῦ μὲν παραλληλογράμμου τοῦ | γενομένου ἐν τῷ ἡμικυλινδρίῳ | κέντρον τοῦ βάρους τὸ X, τοῦ δὲ πα|ραλληλογράμμου τοῦ γενομένου | ἐν τῷ τμήματι τῷ ἀποτμηθέν|τι μετενηνεγμένου κέντρον τοῦ | βάρους τὸ Ξ, καὶ τὸν αὐτὸν ἔχει λόγον | ἡ ΞΘ πρὸς ΘX, ὃν τὸ παραλληλόγραμ|μον, οὗ εἴπομεν κέντρον εἶναι | τοῦ βάρους τὸ X, πρὸς τὸ παραλληλό|γραμμον, οὗ εἴπομεν

42ᵛ col. 2 κέντρον | εἶναι τοῦ βάρους τὸ Ξ, ἰσορροπήσει ἄρα περὶ τὸ Θ τὸ παραλληλόγραμμον, οὗ κέντρον τοῦ βάρους τὸ X, τῷ παραλληλογράμμῳ, οὗ κέντρον τοῦ βάρους τὸ Ξ. ὁμοίως δὲ | δειχθήσεται, ὅτι καί, ὅταν ἄλλη τις | ἀχθῇ ἐν τῷ ΟΠΡ ἡμικυκλίῳ πρὸς | ὀρθὰς τῇ ΠΘ, καὶ ἀπὸ τῆς ἀ|χθείσης ἐπίπεδον ἀνασταθῇ | ὀρθὸν πρὸς τὴν ΠΘ καὶ ἐκβληθῇ ἐ|φ' ἑκάτερα τοῦ ἐπιπέδου τοῦ, ἐ|ν ᾧ ἐστιν ὁ ΞΟΠΡ κύκλος, [ὅτι] τὸ γινόμε|νον παραλληλόγραμμον ἐν τῷ | ἡμικυλινδρίῳ ἰσόρροπον περὶ | τὸ Θ σημεῖον αὐτοῦ μένον τῷ πα-|ραλληλογράμμῳ τῷ γενομένῳ | ἐν τῷ τμήματι τῷ ἀποτμηθέν|τι ἀπὸ τοῦ κυλίνδρου μετενεχθέν|τι καὶ τεθέντι τοῦ ζυγοῦ κατὰ τὸ | Ξ οὕτως, ὥστε κέντρον εἶναι

47ᵛ col. 1 αὐτοῦ | τοῦ βάρους τὸ Ξ σημεῖον. καὶ πάντα | ἄρα τὰ παραλληλόγραμμα τὰ γενό|μενα ἐν τῷ ἡμικυλινδρίῳ αὐτοῦ | μένοντα ἰσορροπήσει περὶ τὸ | Θ σημεῖον πᾶσι τοῖς παραλληλο|γράμμοις τοῖς γενομένοις ἐν | τῷ τμήματι τῷ ἀποτμηθέντι | ἀπὸ τοῦ κυλίνδρου μετενηνεγμέ|νοις καὶ κειμένοις τοῦ ζυγοῦ κατὰ | τὸ Ξ σημεῖον· ὥστε ἰσορροπεῖν καὶ τὸ ἡ|μικυλίνδριον αὐτοῦ μένον περὶ | τὸ Θ σημεῖον τῷ τμήματι τῷ ἀ|ποτμη-

parallelogrammo in segmento cylindri orto transposito et ad Ξ punctum librae ita collocato, ut centrum grauitatis eius sit punctum Ξ, circum Θ punctum aequilibritatem seruat. et quoniam parallelogrammi in semicylindro orti centrum grauitatis est X [lemm. 6], parallelogrammi autem in segmento absciso orti transpositi centrum grauitatis Ξ, et ΞΘ : ΘX eandem rationem habet, quam parallelogrammum, cuius centrum grauitatis punctum X esse diximus, ad parallelogrammum, cuius centrum grauitatis punctum Ξ esse diximus, parallelogrammum,[1]) cuius centrum grauitatis est X, cum parallelogrammo, cuius centrum grauitatis est Ξ, circum Θ aequilibritatem seruabit. similiter autem demonstrabimus, etiam, si alia aliqua recta in semicirculo ΟΠΡ ad ΠΘ perpendicularis ducatur, et in recta ita ducta planum erigatur ad ΠΘ perpendiculare et ad utramque partem plani, in quo est circulus ΞΟΠΡ, producatur, parallelogrammum in semicylindro ortum suo loco manens circum punctum Θ aequilibritatem seruare cum parallelogrammo in segmento a cylindro absciso orto transposito et ad Ξ punctum librae ita collocato, ut centrum grauitatis eius sit punctum Ξ. quare etiam omnia parallelogramma in semicylindro orta suo loco manentia circum punctum Θ aequilibritatem seruabunt cum omnibus parallelogrammis in segmento a cylindro absciso ortis transpositis et ad Ξ punctum librae collocatis; ergo etiam semicylindrus suo loco manens circum punctum Θ aequilibritatem seruabit cum segmento absciso transposito

1) De supplemento lin. 11—14 necessario, nisi ἐπεί lin. 4 deletur, cfr. p. 462, 11 sqq.

1 τῷ] om. 2 ὥστε] ἔσται. 3 αὐτοῦ τοῦ] τοῦ αὐτοῦ. 9 εἴπομεν] εἴπωμεν. 11 ἰσορροπήσει — 14 Ξ] om. 18 ὅτι] deleuerim. 29 καὶ] om. 30 ὥστε] om.

θέντι μετενεχθέντι καὶ τεθέντι τοῦ ζυγοῦ | κατὰ τὸ Ξ οὕτως, ὥστε κέντρον εἶναι | αὐτοῦ τοῦ βάρους τὸ Ξ σημεῖον.

42r col. 1

ιγ'.

